Diosk. 4, 122: βούνιον καυλὸν ἀνίησι τετράγωνον, καὶ ἐν αὐτῷ κλωνάρια περίπλεα φυλλαρίων λεπτῶν καὶ ἀνθῶν πολλά, τῷ μήκει δακτυλιαῖα . . . . σπέρμα εὐῶδες, ὑοσκυάμου μικρότερον.

Hängt möglicher Weise mit dem Vorausgehenden zusammen.

βαμβακύζειν ‚vor Frost klappern'.

Hippon. Bruchst. 17: δὸς χλαῖναν Ἱππώνακτι, κάρτα γὰρ ῥιγῶ καὶ βαμβακύζω.

Reduplicirt nach Art von παμφαίνειν ‚hell leuchten' (2, Seite 587), παμφαλάειν ‚sich ängstlich umsehen' (2, Seite 588); πομφόλυγ- ‚Wasserblase'

(2, Seite 591) und anderer Formen, die den Nasal in ihrer ersten Silbe enthalten. Die Herkunft des Wortes aber ist dunkel.

βαμβαλύζειν ‚vor Frost klappern'.

Bekk. an. 30 wird erklärt *βαμβαλύζειν· τὸ ὑπὸ ῥίγους τρέμειν καὶ κρούειν τοὺς γαμφίους.*

Steht mit dem Vorausgehenden ohne Zweifel in sehr nahem Zusammenhang.

βαμβαίνειν (aus **βαμβάνjειν*) ‚stammeln'.

Il. 10, 375: *ὁ δ' ἄρ' ἔστη τάρβησέν τε βαμβαίνων, ἄραβος δὲ διὰ στόμα γίγνετ' ὀδόντων.* Bion 4, 9: *βαμβαίνει μὲν γλῶσσα καὶ ὡς πάρος οὐκέτ' ἀείδει.* Agath. (in Anth. 5, 273, 6): *χείλεα βαμβαίνει φθέγματι γηραλέῳ.* Themist. 56, A: *ἔπαλλε μὲν αὐτῆς ἡ καρδία, ἐβάμβαινε δὲ ἡ φωνή.*

Dunkler Herkunft, wenn auch die Bildung des Wortes durch Reduplication nach Art der beiden vorausgehenden nicht zu verkennen ist.

βαμβραδόν- (*βαμβραδών*), eine Sardellenart.

Epicharm. (bei Athen. 7, 287, B und 305, C): *βαμβραδόνες τε καὶ κίχλαι, λαγοί, δράκοντες ἄλκιμοι.* Sophron (bei Athen. 7, 287, C): *βαμβραδόνι, ῥαφίδι.*

Durch Reduplication gebildet nach Art der nächst vorausgehenden Wörter und zum Beispiel auch von *πεμφρηδόν-*, eine Art Wespe (2, Seite 590). Mit dem letzteren stimmt es auch im Suffix überein. Die zu Grunde liegende Verbalgrundform aber ist nicht deutlich. — Nach Athenäos (7, 287, B: *βεμβράδες .... Ἐπίχαρμος ἐν Ἥβας γάμῳ βαμβραδόνας αὐτὰς καλεῖ*) bezeichnet es das selbe wie *βεμβράδ-* (siehe unten): die beiden Wörter unterscheiden sich also wohl nur dialektisch und in der Suffixform.

βέμβῑκ- (*βέμβιξ*) ‚Kreisel'; auch Name eines Insects.

Ar. Wespen 1530: *στρόβει, παράβαινε κύκλῳ .... βέμβικες ἐγγενέσθων.* Vögel 1461 und 1462: *βέμβῑκος οὐδὲν διαφέρειν δεῖ. — μανθάνω βέμβικα.* Kall. epigr. 1, 9: *οἱ δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβικας ἔχοντες ἔστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ.* Opp. Fischf. 5, 222: *ὡς τότε κητείοισιν ὑπ' ἄσθμασι χῶρος ἀπάντη ξαινόμενος βέμβικας* (‚Wirbel, Strudel') *ἑλίσσεται ἀμφιτρίτης.* — Nik. ther. 806: *οἶδά γε μὴν φράσσασθαι ἀλέξια τοῖο βολάων, οἷάπερ ἐκ βέμβικος ὀρεστέρου ἠὲ μελίσσης.* Alex. 183: *ὅτε ῥοιζηδὰ μέλισσαι, πεμφρηδών, σφῆκές τε καὶ ἐκ βέμβικες ὄρειαι γλεῦκος ἅλις δαίνυνται.*

Scheint in gleicher Weise durch Reduplication gebildet, wie die nächst vorhergehenden und nachfolgenden Bildungen. Als suffixaler Theil des Wortes aber wird *ῑκ* gelten müssen, wie es zuerst in *ἄμβῑκ-* ‚Becher' (1, Seite 241) entgegentrat. So würde der ganze Rest der zu Grunde liegenden Verbalform in dem inneren *β* enthalten sein, bei dem man doch kaum an *βη-* ‚sich in Bewegung setzen' (Seite 73) wird denken dürfen.

βεμβράδ- (*βεμβράς*), eine Sardellenart.

Phrynich. (bei Athen. 7, 287, B): *ὦ χρυσοκέφαλοι βεμβράδες θαλάσσιαι.* Aristophan. (bei Athen. 7, 287, D): *ταῖς πολιόχρωσι βεμβράσιν τεθραμμένη.*

Aristomen. (bei Athen. 7, 287, D): *βεμβράδας φέρων ὀβολοῦ.* Nikostrat. (bei Athen. 7, 301, B): *βεμβράδ᾽, ἀφύην, ἑψητόν.*

Ungewisser Herkunft. An alte Bildung durch Reduplication wird ebenso wenig zu zweifeln sein, wie bei den schon so beurtheilten Wörtern im Vorausgehenden. Unter ihnen unterscheidet sich *βαμβραδόν-* ,eine Sardellenart' (Seite 107) wohl nur dialektisch und durch seine Suffixform. Minder deutlich ist das etwaige Verhältniss von *μεμβράδ-*, eine Sardellenart (Ar. Wespen 493 und 494; Antiphan. bei Athen. 7, 287, E; Alexis bei Athen. 7, 287, F), das für eine Nebenform von *βεμβράδ-* gehalten zu werden pflegt, wie denn zum Beispiel Athenäos (7, 287, D) zu *βεμβράδες* bemerkt: *ἐν δὲ ταῖς Εὐπόλιδος Αἶξὶν ἔστιν εὑρεῖν καὶ διὰ τοῦ μ γραφόμενον.*

βομβάξ (Ar. Thesm. 45) und das damit zusammengesetzte *βομβαλο-βομβάξ* (Ar. Thesm. 48) sind Ausrufwörter des Staunens, die offenbar in scherzhaftem Anklang an *βομβέειν* (siehe sogleich) gebildet wurden.

βόμβο-ς ,ein dumpfer Ton'.

Ar. Thesm. 1176: *τί τὸ βόμβο* (so sagt der skythische Bogenschütz statt des richtigen *ὁ βόμβος*) *τοῦτο*; Plat. Prot. 316, A: *διὰ τὴν βαρύτητα τῆς φωνῆς βόμβος τις ἐν τῷ οἰκήματι γιγνόμενος ἀσαφῆ ἐποίει τὰ λεγόμενα.* Agath. (in Anth. 5, 222, 4): *εἴ ποτε δὲ τραγικῷ ῥοιζήματι ῥήξατο φωνήν, αὐτῆς Μελπομένης βόμβον ἀπεπλάσατο.* — Dazu: *βομβέειν* ,dumpf tönen'; Il. 13, 530: *αὐλῶπις τρυφάλεια χαμαὶ βόμβησε πεσοῦσα.* Od. 8, 190: *βόμβησεν δὲ λίθος.* Od. 12, 204: *ἐκ χειρῶν ἔπτατ᾽ ἐρετμά· βόμβησαν δ᾽ ἄρα πάντα κατὰ ῥόϜον.*

Ist wohl tonnachahmend gedacht. Möglicher Weise ist auch an alte Bildung durch Reduplication nach Art vorausgehender und nachfolgender Formen mit innerem Nasal zu denken und dann wohl an Zusammenhang mit *βοή*, alt *βοϜή* ,das Rufen, lautes Tönen' (Seite 72).

βόμβῡκ- (*βόμβυξ*) ,Flöte'.

Aesch. Bruchst. 57, 3: *ὁ μὲν ἐν χερσὶν βόμβυκας ἔχων, τόρνου κάματον, δακτυλόδικτον πίμπλησι μέλος.* Arist. audib. 800: *μᾶλλον δὲ τοῦτο καταφανές ἐστιν ἐπὶ τῶν αὐλῶν· πάντες γὰρ χαλεπῶς πληροῦσι τοὺς βόμβυκας καὶ μετὰ συντονίας πολλῆς διὰ τὸ μῆκος τῆς ἀποστάσεως.* Plut. mor. 713, A: *μὴ παθαινόμενος μηδ᾽ ἀνασοβῶν καὶ παρεξιστὰς βόμβυξι καὶ πολυχορδίαις διάνοιαν.* Poll. 4, 82: *τῶν δὲ βομβύκων ἔνθεον καὶ μανικὸν τὸ αὔλημα, πρέπον ὀργίοιο.* — Dazu: *βοβῡ́κιο-ν* ,Mauerbiene'; Arist. Thierk. 5, 126: *ἔνια δὲ τῶν βομβυκίων πρὸς λίθῳ ἢ τοιούτῳ τινὶ ποιοῦσι πήλινον ὀξύ, ὥσπερ σιάλῳ καταλείφονται . . . . ἐνταῦθα δὲ τίκτουσι.*

Gehört sehr wahrscheinlich zum Vorausgehenden. Es darf dabei bemerkt werden, dass *βομβέειν* insbesondere gern vom Summen der Insekten gebraucht wird, wie Arist. Thierk. 4, 102: *τὰ μὲν οὖν ἔντομα . . . . βομβεῖ.* 4, 118: (die Bienen) *παύονται βομβοῦσαι τῆς νυκτός.* 9, 202 . . . . *ὄρθριαι δὲ σιωπῶσιν, ἕως ἂν μία ἐγείρῃ βομβήσασα δὶς ἢ τρίς.* 9, 215: *ἐὰν δὲ λάβῃ τις τῶν ποδῶν σφῆκα καὶ τοῖς πτεροῖς ἐᾷ βομβεῖν.* — Der suffixale Theil des Wortes scheint der selbe wie in *κήρῡκ-* ,Ausrufer, Herold' (2, Seite

378): sein $\bar{\upsilon}$ aber erklärt sich möglicher Weise in dem oben vermutheten Zusammenhang von *βομβέειν* mit *βοή*, alt *βοϝή* ‚das Rufen, lautes Tönen‘ (Seite 72).

βόμβῡκ- (*βόμβυξ*) ‚Seidenraupe‘; dann auch für ‚Seide‘.

Pollux 7, 76: *τὰ δὲ* (von Kleiderstoffen ist die Rede) *ἐκ βομβύκων, σκώληκές εἰσιν οἱ βόμβυκες, ἀφ' ἑαυτῶν τὰ νήματα ἀνέντες ὥσπερ ὁ ἀράχνης.* — Alkiphr. 1, 39, 4: *καὶ πρώτη Μυρρίνη τὰ ζώνιον λύσασα — βόμβυξ δ' ἦν τὸ χιτώνιον.* — Dazu: *βομβῡ́κιον* ‚Cocon, Gehäuse für die Puppe‘; Arist. Thierk. 5, 97: *ἐκ δὲ τούτου τοῦ ζῴου* (die Seidenraupe muss gemeint sein, wenn sie auch nicht bestimmt genannt ist) *καὶ τὰ βομβύκια* (*ἃ*) *ἀναλύουσι τῶν γυναικῶν τινὲς ἀναπηνιζόμεναι, κἄπειτα ὑφαίνουσιν.*

Ist wohl vom Vorausgehenden nicht verschieden. Oder sollte es fremd sein?

βομβυλιό-ς ‚Cocon der Seidenraupe‘.

Arist. Thierk. 5, 97 (auch angeführt, doch nicht ganz wörtlich, bei Athen. 8, 352, F): *ἐκ δέ τινος σκώληκος μεγάλου, ὃς ἔχει οἷον κέρατα καὶ διαφέρει τῶν ἄλλων, γίνεται πρῶτον μεταβάλλοντος τοῦ σκώληκος κάμπη, ἔπειτα βομβυλιός, ἐκ δὲ τούτου νεκύδαλος.*

Schliesst sich an das Vorausgehende. Die Suffixform ähnlich wie zum Beispiel in *αἱμύλιο-ς* ‚schmeichlerisch, verführerisch‘ (1, Seite 101).

βομβυλιό-ς (auch *βομβύλιο-ς* betont) ‚Hummel‘; ‚enghalsige Flasche‘.

Ar. Wespen 107: *ὥσπερ μέλιττ' ἢ βομβυλιὸς εἰσέρχεται, ὑπὸ τοῖς ὄνυξι κηρὸν ἀναπεπλασμένος.* Arist. Thierk. 9, 164: *μέλιτται καὶ τὰ παραπλήσια τὴν μορφήν· τούτων δ' ἐστὶ γένη ἐννέα .... μοναδικὰ δὲ τρία, σειρὴν ὁ μικρός, φαιός .... τρίτος δ' ὁ καλούμενος βομβύλιος, μέγιστος τούτων.* 9, 222: *οἱ δὲ βομβύλιοι τίκτουσιν ὑπὸ πέτρας ἐπ' αὐτῆς τῆς γῆς, θυρίσι δυσὶν ἢ μικρῷ πλείοσιν.* Isokrat. 10, 12: *τῶν μὲν γὰρ βομβυλιοὺς καὶ τοὺς ἅλας καὶ τὰ τοιαῦτα βουληθέντων ἐπαινεῖν οὐδεὶς πώποτε λόγων ἠπόρησεν.* — Sokrates sagt (nach Athen. 11, 784, D): *οἱ μὲν ἐκ φιάλης πίνοντες ὅσον θέλουσι τάχιστ' ἀπαλλαγήσονται, οἱ δ' ἐκ βομβυλιοῦ κατὰ μικρὸν στάζοντος.* Luk. Lexiph. 7: *ποτήρια δὲ ἔκειτο παντοῖα ἐπὶ τῆς δελφινίδος τραπέζης .... καὶ βομβυλιός.* — Dazu: *βομβυλιάζειν* ‚Kullern im Leibe haben‘; Arist. probl. 27, 11: *διὸ καὶ βομβυλιάζουσιν οἱ δεινῶς δεδιότες.*

Scheint mit dem Vorausgehenden ganz das Selbe zu sein. Nicht zu zweifeln aber ist an nächstem Zusammenhang mit *βόμβο-ς* ‚dumpfer Ton‘ (Seite 108).

βομβαύλιο-ς ‚eine dumpftönende Flöte blasend‘.

Ar. Ach. 866: *πόθεν προσέπτανθ' οἱ κακῶς ἀπολούμενοι* (nämlich *σφῆκες*) *ἐπὶ τὴν θύραν μοι Χαιριδεῖς βομβαύλιοι;*

Vielleicht nur an *βομβυλιό-ς* ‚Hummel‘ (siehe oben) anklingende Scherzbildung. Als Schlusstheil ist *αὐλό-ς* ‚Röhre, Flöte‘ (2, Seite 186) nicht zu verkennen.

βῆματ- (*βῆμα*) ‚Tritt, Schritt‘; ‚Rednerbühne‘ (= ‚die Betretene‘).

Hom. hymn. Herm. 222: *βήματα δ' οὔτ' ἀνδρὸς τάδε γίνεται οὔτε γυναικός.* 345: *ἀντία βήματ' ἔχουσα κόνις ἀνέφαινε μέλαινα.* Soph. El. 163: *Διὸς εὔφρονι βήματι μολόντα τάνδε γᾶν Ὀρέσταν.* Oed. Kol. 193: *μηκέτι τοῦδ' ἀντιπέτρου βήματος ἔξω πόδα κλίνης.* — Plat. Ion 535, E: *καθορῶ γὰρ ἑκάστοτε αὐτοὺς ἄνωθεν ἀπὸ τοῦ βήματος κλαίοντάς τε καὶ δεινὸν ἐμβλέποντας καὶ συνθαμβοῦντας τοῖς λεγομένοις.* Ar. Ekkl. 677: *τὸ δὲ βῆμα* (hier ‚Richterstuhl') *τί σοι χρήσιμον ἔσται;* Plut. 382: *ὁρῶ τιν' ἐπὶ τοῦ βήματος καθεδούμενον.*

= Altind. *-gâman-* in *ví-gâman-* ‚Schritt'; RV. 1, 155, 4: *jás pârthivâni tribhís íd vígâmabhis úru krámishṭa* ‚welcher (nämlich Vishnus) über die irdischen Räume mit drei Schritten weit ausschritt'.

Gehört zu *βη-* ‚sich in Bewegung setzen' (Seite 73). Das Suffix wie in *κτῆματ-* ‚Besitzthum' (Il. 3, 70; 72; 91), *πῆματ-* ‚Leid, Unglück' (2, Seite 591), *σῆματ-* ‚Zeichen' (Il. 2, 308; 353; 814), *κλῆματ-* ‚Zweig' (2, Seite 455) und zahlreichen anderen Formen.

βωμό-ς ‚Gestell, Untersatz', besonders ‚Altar'.

Il. 8, 441: *ἅρματα δ' ἀμ βωμοῖσι τίθη.* Od. 7, 100: *χρύσειοι δ' ἄρα κοῦροι ἐνδμήτων ἐπὶ βωμῶν ἕστασαν αἰθομένας δαϝίδας μετὰ χερσὶν ἔχοντες.* — Il. 8, 48: *ἔνθα τέ ϝοι* (d. i. *Διϝί*) *τέμενος βωμός τε θυήϝεις.* Od. 17, 210: *βωμὸς δ' ἐψύπερθε τέτυκτο νυμφάων.* Il. 1, 448: *τοὶ δ' ὦκα θεῷ κλειτὴν ἑκατόμβην ἑξείης ἔστησαν ἐύδμητον περὶ βωμόν.* Il. 2, 305: *ἱεροὺς κατὰ βωμοὺς ϝέρδομεν ἀθανάτοισι τεληϝέσσας ἑκατόμβας.*

Als Suffix löst sich höchst wahrscheinlich *μο* ab, ganz wie zum Beispiel in *ψωμό-ς* ‚Bissen' (2, Seite 563) und anderen Formen mehr. Die Verbalgrundform aber ist nicht so deutlich; Zugehörigkeit zu *βη-* ‚sich in Bewegung setzen' (Seite 73), wie man sie angenommen hat, sehr zweifelhaft.

βου-μολγό-ς ‚Kühe melkend' (Eryk. in Anthol. 6, 255, 2) siehe unter *ἀμέλγειν* ‚melken' (1, Seite 226).

βάραθρο-ν (‚Abgrund', insbesondere) ein ‚Abgrund in Athen, in den verurtheilte Verbrecher gestürzt wurden'. Eine Nebenform von *βέρεθρο-ν* (siehe Seite 113). Bekker anekd. 219 heisst es unter *βαραθρον*: *Ἀθήνησι δὲ ἦν ὄρυγμά τι ἐν Κειριαδῶν δήμῳ τῆς Οἰνηίδος φυλῆς, εἰς ὃ τοὺς ἐπὶ θανάτῳ καταγνωσθέντας ἐνέβαλλον.*

Hdt. 7, 133: *οἱ μὲν αὐτῶν τοὺς αἰτέοντας ἐς τὸ βάραθρον οἱ δ' ἐς φρέαρ ἐμβαλόντες.* Ar. Ritter 1362: *ἄρας μετέωρον ἐς τὸ βάραθρον ἐμβαλῶ.* Plut. 431: *οὔκουν ὑπόλοιπόν σοι τὸ βάραθρον γίγνεται;* Plat. Gorg. 516, E: *Μιλτιάδην δὲ τὸν ἐν Μαραθῶνι εἰς τὸ βάραθρον ἐμβαλεῖν ἐψηφίσαντο.* — Aus Luk. Pseudolog. 17: *εἴ τις ἴδοι . . . . ἐπίορκον ὄλεθρον κυφῶνα βάραθρον, μὴ φύγῃ μηδ' εἰκάσῃ τοῦτον ἀποφράδι ἡμέρᾳ* ergiebt sich, dass *βάραθρον* später auch gradezu für ‚Verbrecher' gebraucht wurde; keines Weges aber ist aus der Stelle ein männlichgeschlechtiges *βάραθρος* zu entnehmen, wie es die Wörterbücher haben.

Gehört zu einer Verbalgrundform **βορ-* ‚verschlingen', wie sie zum Beispiel noch deutlich vorliegt in *βορό-ς* ‚verschlingend, gefrässig' (Ar.

Friede 38), *ὠμο-βόρο-ς* ‚Rohes verschlingend‘ (Ap. Rh. 1, 636) und anderen Formen. Auf der selben Grundlage beruht das abgeleitete lat. *vorâre* ‚verschlingen‘ (Plaut. trin. 475; truc. 42; rud. 545) nebst *vorâgon-* ‚Abgrund, Tiefe‘ (Cic. div. 1, 33; Catull. 17, 26). — Das Suffix wie in *βάθρο-ν* ‚Stufe, Schwelle‘ (Seite 96) und sonst oft, so dass als erste Bedeutung ‚Verschlingemittel‘ und dann ‚Verschlingörtlichkeit‘ sich ergiebt.

βάραθρο-ν, ein Stück der weiblichen Tracht.

Ar. Bruchst. 320, 8: ... *χιτῶνα, βάραθρον, ἔγκυκλον, κομμώτριον* ...

Vielleicht vom Vorausgehenden nicht verschieden, wenn auch dabei die Bedeutungsentwicklung nicht verständlich wird.

βάραγχο-ς ‚Heiserkeit‘.

Hipponax Bruchst. 106 (aus Etym. 188, 9): *βάραγχος.*

Nebenform zu *βράγχο-ς* (siehe Seite 120), die bezüglich ihres ersten inneren *α* schon mit *γάλακτ-* ‚Milch‘ (Seite 56) neben *γλάγος-* ‚Milch‘ (Seite 61) verglichen wurde.

βᾶρι-ς (oder auch *βᾶριδ-* Aesch. Pers. 554; Eur. I. A. 297; Plut. mor. 358, A), ein ägyptisches oder auch persisches Fahrzeug.

Aesch. Pers. 554: *τὸ πᾶν τ' ἐπέσπε δυσφόρως βαρίδεσσι ποντίαις.* 1075: *ἰὴ ἰὴ βάρισιν ὀλόμενοι.* Schutzfl. 874: *Αἰγυπτίαν γὰρ βᾶριν οὐχ ὑπερθορεῖ.* Hdt. 2, 96: *ἡ μὲν δὴ θύρη τοῦ ῥόου ἐμπίπτοντος χωρέει ταχέως καὶ ἕλκει τὴν βᾶριν (τοῦτο γὰρ δὴ οὔνομά ἐστι τοῖσι πλοίοισι τούτοισι).* Eur. Iph. A. 297: *ᾧ τις εἰ προσαρμόσει βαρβάρους βάριδας.*

Ungriechischen Ursprungs.

βαρύ-ς ‚schwer‘, sehr oft in übertragener Bedeutung gebraucht.

Plat. Phileb. 14, D: *μέγαν καὶ σμικρὸν τιθέμενος καὶ βαρὺν καὶ κοῦφον τὸν αὐτόν.* Il. 1, 89: *σοὶ κοϝίλης παρὰ νηυσὶ βαρείας χεῖρας ἐποίσει.* Il. 1, 219: *ἐπ' ἀργυρέῃ κώπῃ σχέθε χεῖρα βαρεῖαν.* Od. 9, 257: *ἡμῖν δ' αὖτε κατεκλάσθη φίλον ἦτορ δϝεισάντων φθόγγον τε βαρύν.* Il. 2, 111: *Ζεύς με μέγα Κρονίδης ἀϝάτῃ ἐνέδησε βαρείῃ.* Il. 20, 55: *ἐν δ' αὐτοῖσ' ἔριδα ϝρήγνυντο βαρεῖαν.* Il. 5, 417: *ὀδύναι δὲ κατηπιόοντο βαρεῖαι.* Il. 10, 70: *ἄμμιν Ζεὺς ἐπὶ γιγνομένοισιν ἵη κακότητα βαρεῖαν.* Il. 21, 548: *ὅπως θανάτοιο βαρείας κῆρας ἀλάλκοι.* Od. 8, 95: *βαρὺ δὲ στενάχοντος ἄκουσεν.* — Dazu: *βαρύθειν* ‚beschwert sein‘; Il. 16, 519: *βαρύθει δέ μοι ὦμος ὑπ' αὐτοῦ* (d. i. *ἕλκεος*). Hes. Werke 215: *ὕβρις γάρ τε κακὴ δειλῷ βροτῷ· οὐδὲ μὲν ἐσθλὸς ϝρηιδίως φερέμεν δύναται, βαρύθει δέ θ' ὑπ' αὐτῆς.*

Lat. *gravi-s* ‚schwer‘, auch oft in übertragener Bedeutung gebraucht; Enn. ann. 511: *Palûda virâgo, cuî pâr imber et ignis, spîritus et gravis terra*; 539: *mê gravis impetus Orcî pertudit in latus.*

Kymr. *bryw* ‚Stärke‘, ‚stark‘ (Fick 2^4, 186).

Goth. *kauru-s* ‚schwer‘; nur Kor. 2, 10, 10: *thôs raihtis bôkôs, qvithand, kaurjôs sind jah svinthôs ‚αἱ μὲν ἐπιστολαί, φασίν, βαρεῖαι καὶ ἰσχυραί‘*, so dass also die Grundform *u* nicht selbst belegt ist, nur erschlossen werden kann.

= Altind. *gurú-s* ‚schwer'; RV. 4, 5, 6: *gurúm bhârám ná* ‚wie eine schwere Last'. — Dazu: der Comparativ *gárîjans-* ‚schwerer' (Mbh.).

= Altostpers. *gaoru-* ‚widerwärtig', in *gaoru-zaothra-* ‚dessen Opfer widerwärtig sind'.

Die Bildung von *βαρύθειν* wiederholt sich in *μινύθειν* ‚sich vermindern, abnehmen' (Il. 16, 392; 17, 738; Od. 4, 374; 467), aus dem sich ein adjectivisches **μινύ-* ‚klein' entnehmen lässt, und in *φθινύθειν* ‚hinschwinden' (Il. 2, 346; 6, 327; 8, 530; 16, 145).

βάρβαρο-ς ‚unverständlich, unverständlich sprechend, fremdsprachig'; dann überhaupt ‚ungriechisch, ausländisch, ungebildet'.

Pind. Isthm. 5, 24: *οὐδ' ἔστιν οὕτω βάρβαρος οὔτε παλίγγλωσσος πόλις, ἅτις οὐ Πηλέος ἀΐει κλέος ἥρωος.* Aesch. Pers. 634: *ἦ ῥ' ἀΐει μου ... βασιλεὺς βάρβαρα σαφηνῆ ἱέντος τὰ παναίολ' αἰανῆ δύσθροα βάγματα.* Soph. Aias 1263: *τὴν βάρβαρον γὰρ γλῶσσαν οὐκ ἐπαΐω.* Hdt. 2, 57: *πελειάδες δέ μοι δοκέουσι κληθῆναι πρὸς Δωδωναίων ἐπὶ τοῦδε αἱ γυναῖκες, διότι βάρβαροι ἦσαν, ἐδόκεον δέ σφι ὁμοίως ὄρνισι φθέγγεσθαι· μετὰ δὲ χρόνον τὴν πελειάδα ἀνθρωπηΐῃ φωνῇ αὐδάξασθαι λέγουσι, ἐπείτε τὰ συνετά σφι αὔδα ἡ γυνή.* 2, 158: *βαρβάρους δὲ πάντας οἱ Αἰγύπτιοι καλέουσι τοὺς μὴ σφίσι ὁμογλώσσους.* Ar. Vögel 199: *ἐγὼ γὰρ αὐτοὺς βαρβάρους ὄντας πρὸ τοῦ ἐδίδαξα τὴν φωνήν.* — Alter Orakelspruch bei Diod. Sic. (8, 29): *Βάττε ... ἄναξ δέ σε Φοῖβος Ἀπόλλων εἰς Λιβύην πέμπει .... ἔνθα σε βάρβαροι ἄνδρες ἐπὰν Λιβύης ἐπιβήῃς, βαιτοφόροι ἐπίασι.* Aesch. Schutzfl. 235: *ποδαπὸν ὅμιλον τόνδ' ἀνελληνόστολον πέπλοισι βαρβάροισι καὶ πυκνώμασι χλίοντα προσφωνοῦμεν;* Pers. 187: *πάτραν δ' ἔναιον ἡ μὲν Ἑλλάδα κλήρῳ λαχοῦσα γαῖαν, ἡ δὲ βάρβαρον.* 391: *φόβος δὲ πᾶσι βαρβάροις παρῆν.* Hdt. 7, 63: *Ἀσσύριοι ... εἶχον χάλκεά τε κράνεα καὶ πεπλεγμένα τρόπον τινὰ βάρβαρον οὐκ εὐαπήγητον.* Ar. Wolken 492: *ἄνθρωπος ἀμαθὴς οὑτοσὶ καὶ βάρβαρος.* — Dazu: *βαρβαρό-φωνο-ς* ‚dessen Sprache (zu vergleichen Aesch. Ag. 1051: *ἀγνῶτα φωνὴν βάρβαρον κεκτημένη.* Plat. Prot. 341, C: *ἐν φωνῇ βαρβάρῳ τεθραμμένος*) unverständlich ist'; Il. 2, 867: *Νάστης αὖ Καρῶν ἡγήσατο βαρβαροφώνων.* Orakelsprüche bei Hdt. 8, 20: *βαρβαρόφωνος ὅταν ζυγὸν εἰς ἅλα βάλλῃ βύβλινον* und 9, 43: *βαρβαρόφωνον ἰυγήν.*

Durch Reduplication gebildet nach Art von *γαργαρεών-* ‚Zäpfchen im Munde' (Seite 40), *γάργαρο-ν* ‚Gewimmel, Menge' (Seite 40), *Τάρταρο-ς* ‚Unterwelt' (2, Seite 789) und anderen Formen. Zu Grunde aber liegt ein Verbalstamm *βαρ-,* mit dem trotz des verschieden entwickelten Anlauts vielleicht *γῆρυ-ς* ‚Stimme, Klang' (2, Seite 46) zusammenhängt und ahd. *queran* ‚seufzen'. Weiterhin ist möglicher Weise auch lat. *balbo-s* ‚stammelnd, undeutlich sprechend' (*ôs ... balbum* Hor. epist. 2, 1, 126; *balba ... verba* Hor. sat. 2, 3, 274) verwandt, wenn auch im Ganzen innerhalb europäischer Wortsippen die Laute *r* und *l* sich nur selten begegnen.

βάρβιτο-ς (daneben auch *βάρβιτο-ν,* Neanthes bei Athen. 4, 175, E; Dion. Hal. 7, 72) ‚Leier oder leierähnliches Saiteninstrument'.

Sappho Bruchst. 154 (nach Athen. 4, 182, F: *τὸν γὰρ βάρωμον καὶ βάρβιτον, ὧν Σαπφὼ καὶ Ἀνακρέων μνημονεύουσι . . . ἀρχαῖα εἶναι).* Eur. Alk. 345: *οὐ γάρ ποτ᾽ οὔτ᾽ ἂν βαρβίτου θίγοιμ᾽ ἔτι.* Kykl. 40: *προσῇτ᾽ ἀοιδαῖς βαρβίτων σαυλούμενοι.* Ar. Thesm. 137: *τί βάρβιτος λαλεῖ κροκωτῷ; τί δὲ λύρα κεκρυφάλῳ;* Anaxil. (bei Athen. 4, 183, B): *ἐγὼ δὲ βαρβίτους τριχόρδους . . . ἐξηρτυόμαν.* Anakr. 2, 3: *ἁ βάρβιτος δὲ χορδαῖς ἔρωτα μοῦνον ἠχεῖ.*

Ungriechischen Ursprungs. Strabo 10, 3, 17 sagt: *τῶν ὀργάνων ἔνια βαρβάρως ὠνόμασται νάβλας καὶ σαμβύκη καὶ βάρβιτος καὶ μαγάδις καὶ ἄλλα πλείω.*

βάρβιλο-ς ‚wilder Pfirsichbaum‘.

Geopon. 10, 13, 5: *βάρβιλος δὲ κυρίως καλεῖται* (vorher ist der Name *τὸ δωριακὸν* gebraucht), *τὸ ἀπὸ ὀστεόν περσικοῦ φυόμενον δένδρον.*

Vermuthlich aus ungriechischem Gebiet entlehnt.

βάρδιστο-ς ‚der langsamste‘.

Il. 23, 310: *ἀλλά τοι ἵπποι βάρδιστοι θεϝέμεν.* Il. 23, 530: *βάρδιστοι μὲν γάρ ϝοι ἔσαν καλλίτριχες ἵπποι.* Theokr. 15, 104: *βάρδισται μακάρων Ὧραι φίλαι.*

Superlativform zu *βραδύ-ς* ‚langsam‘ (Il. 8, 104; Od. 8, 329; 330). Das innere Schwanken in den Formen, das in *καρτερό-ς* ‚stark‘ (Il. 1, 178; 280; 5, 410) neben *κρατερό-ς* (Il. 1, 25 = 379; 326) und anderen Wörtern sich wiederholt, hängt hier wohl mit den Betonungsverhältnissen zusammen.

βέρεθρο-ν ‚Abgrund‘; arkadisch *ζέρεθρο-ν* (Strabo 8, 8, 4: *τῶν βερέθρων, ἃ καλοῦσιν οἱ Ἀρκάδες ζέρεθρα).*

Bei Homer zweimal versschliessend. Il. 8, 14: *τῆλε μάλ᾽, ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον.* Od. 12, 94: *ἔξω δ᾽ ἐξίσχει* (nämlich *Σκύλλη*) *κεφαλὰς δϝεινοῖο βερέθρου.* Theophr. Pflanz. 3, 1, 2: *ἐν Φενεῷ τῆς Ἀρκαδίας . . ἐξερράγη τὸ συναθροισθὲν ὕδωρ ἐν τῷ πεδίῳ φραχθέντων τῶν βερέθρων.*

Wurde bereits unter der dialektischen Form *βάραθρο-ν* (Seite 110), die ausschliesslich als Bezeichnung eines bestimmten Abgrundes in Athen gebraucht zu sein scheint, besprochen.

βερέσχεθο-ς ‚Dämon der Dummheit‘.

Ar. Ritter 635 in der Anrufung: *Βερέσχεθοί τε καὶ Κόβαλοι καὶ Μόθων . . . . νῦν μοι θράσος καὶ γλῶτταν εὔπορον δότε φωνήν τ᾽ ἀναιδῆ.*

Etymologisch unverständlich.

βέρβερι ‚Perlmuschel‘.

Androsth. (bei Athen. 3, 93, B): *ἓν* (nämlich *κογχύλιον*) *δὲ ἴδιον ὃ καλοῦσιν ἐκεῖνοι βέρβερι, ἐξ οὗ ἡ μαργαρῖτις λίθος γίνεται· αὕτη δ᾽ ἐστὶ πολυτελὴς κατὰ τὴν Ἀσίαν καὶ πωλεῖται περὶ Πέρσας τε καὶ τοὺς ἄνω τόπους πρὸς χρυσίον . . . . . ἡ δὲ λίθος γίνεται ἐν τῇ σαρκὶ τοῦ ὀστρέου . . . καί ἐστιν ἣ μὲν χρυσοειδὴς σφόδρα . . . ἣ δὲ ἀργυροειδής, ἣ δὲ τελέως λευκή, ὁμοία τοῖς ὀφθαλμοῖς τῶν ἰχθυών.*

Ungriechischen Ursprungs.

βερβέριο-ν, ein ärmliches Kleid.

Anakr. Bruchst. 21, 3: *πρὶν μὲν ἔχων βερβέριον, καλύμματ᾽ ἐσφηκωμένα.*

Dunkler Herkunft.

βορ- ,verschlingen, verzehren', verbal lebendig geblieben nur in der Umformung *βρω-* (siehe Seite 127).

Dazu: *βορά* ,Frass, Speise'; Pind. Bruchst. 124, 5: *δείπνου δὲ λήγοντος γλυκὺ τρωγάλιον καίπερ πεδ᾽ ἄφθονον βοράν.* Aesch. Prom. 582: *ποντίοις δάκεσι δὸς βοράν.* Hdt. 1, 119: *ὡς δὲ τῷ Ἁρπάγῳ ἐδόκεε ἅλις ἔχειν τῆς βορῆς.* Ar. Ritter 416: *κυνὸς βορὰν σιτούμενος.* — *βορό-ς* ,verschlingend, gefrässig'; Ar. Friede 38: *μιαρὸν τὸ χρῆμα καὶ κάκοσμον καὶ βορόν.* Luk. Tim. 46: *σύ γε . . . γυπῶν ἁπάντων βορώτατε.* — *θυμο-βόρο-ς* ,das Innre (wie Il. 5, 400: *κῆδε δὲ θυμόν*) verzehrend'; Il. 7, 210: *οὕς τε Κρονίων θυμοβόρου ἔριδος μένεϊ ξυνέηκε μάχεσθαι.* — *δημο-βόρο-ς* ,das Volk verzehrend'; Il. 1, 230: *δημοβόρος* (,der das Besitzthum des Volkes verschlingt') *βασιλεύς, ἐπεὶ οὐτιδανοῖσι ϝανάσσεις.* — *βέρεθρο-ν* ,Abgrund' (siehe besonders, Seite 113).

Lat. *vorâre* ,verschlingen'; Plaut. trin. 475: *edim atqve ambâbus mâlîs explêtîs vorem*; truc. 42: *interim ille hâmum vorat*; rud. 545: *qvaenam ballaena meum vorâvit vidulum.* — Dazu: *carni-voro-s* ,fleischfressend'; Plin. 9, 78: *omnia* (nämlich *cartilâgînea* ,Knorpelfische') *autem carnivora sunt tâlia.*

Kymr. *breuad* ,leichenfressender Wurm' (Fick 2[4], 181).

Lit. *gérti* ,trinken'.

Altslav. *žrêti* ,verschlingen', bei Miklosich aufgeführt, doch ohne Citate.

Armen. *keri* ,ich ass' (Aorist); *ker* ,Nahrung, Frass'; *msa-ker* ,fleischessend'. (Hübschm. Arm. Stud. 35).

Altind. *gar-* ,verschlingen', mit dem Präsens *giráti* ,er verschlingt' (*ní-girati* ,er schlingt hinab' AV.), dem Perfect *ǧagấra* ,er verschlang' (RV. 4, 18, 8; 10, 27, 13), und der Aoristform *garan* ,sie verschlangen' (RV. 1, 158, 5); RV. 1, 158, 5: *ná mâ garan nadías* ,nicht verschlangen mich die Ströme'; RV. 4, 18, 8: *tuâ kushávâ ǧagấra* ,dich hat die Kushavâ verschlungen'. — Dazu: *aǧa-gará-* (,Ziegen verschlingend'; *aǧá-s* ,Ziegenbock' RV. 1, 162, 2; 1, 163, 12), Name einer grossen Schlange (AV.).

Altostpers. *açpô-gara-* ,Rosse verschlingend'.

βόρατο-ν, eine Cedernart.

Diod. Sik. 2, 49: *ἐν δὲ τοῖς ὄρεσιν* (nämlich in Arabia felix) *οὐ μόνον ἐλαίη καὶ πεύκη φύεται δαψιλὴς . . . ἀλλὰ καὶ . . . . τὸ καλούμενον βόρατον.*

Ungriechischen Ursprungs.

βόρασσο-ς ,die in ihre Hülle eingeschlossene Palmenfrucht'.

Diosk. 1, 150: *φοῖνιξ, ἣν ἔνιοι ἐλάτην ἢ σπάθην καλοῦσι, περικάλυμμά ἐστι τοῦ καρποῦ τῶν φοινίκων ἀκμὴν ἀνθούντων . . . . . καὶ ὁ περιεχόμενος δὲ ὑπ᾽ αὐτῆς καρπὸς ἐλάτη καλεῖται, ὑπ᾽ ἐνίων δὲ βόρασσος.*

Ohne Zweifel nicht griechischen Ursprungs.

βορέη-ς ‚Nordwind'; auch als mythische Persönlichkeit gedacht; dorisch und attisch *βορέᾱ-ς* (Pind. Ol. 3, 31; Pyth. 4, 182; Aesch. Bruchst. 281; Soph. Trach. 113; Ar. Ach. 922; Wespen 1124). Daneben auch *βορρῆ-ς* (Il. 9, 5; 23, 195), attisch *βορρᾶ-ς* (Thuk. 6, 2; Plat. Krit. 112, B).

Il. 9, 5: *ὡς δ' ἄνεμοι δύο πόντον ὀρίνετον ἰχθυόϝεντα, βορρῆς καὶ ζέφυρος, τώ τε Θρῄκηθεν ἄϝητον.* Od. 19, 200: *ϝείλει γὰρ βορέης ἄνεμος μέγας οὐδ' ἐπὶ γαίῃ εἴϝα ἵστασθαι.* Il. 15, 171: *ὡς δ' ὅτ' ἂν ἐκ νεφέων πτῆται νιφὰς ἠϝὲ χάλαζα ψυχρὴ ὑπὸ ϝριπῆς αἰθρηγενέος βορέαο.* Od. 5, 385: *Ἀθηναίη . . . ὦρσε δ' ἐπὶ κραιπνὸν βορέην.* — Il. 20, 223: *τάων* (nämlich *ἵππων*) *καὶ Βορέης ἠράσσατο βοσκομενάων.*

Ist weder bezüglich seiner Form (aus *βορέjη-ς*? und wie dann auch *βορρῆ-ς*?) ganz deutlich, noch auch in Bezug auf seine Herkunft. Möglicher Weise aus der Fremde entlehnt.

βόρβορο-ς ‚Schlamm, Schmutz'.

Aesch. Eum. 697 (die Stelle gilt für unecht): *βορβόρῳ θ' ὕδωρ λαμπρὸν μιαίνων οὔποθ' εὑρήσεις ποτόν.* Ar. Ritter 866: *ἐὰν δ' ἄνω τε καὶ κάτω τὸν βόρβορον κυκῶσιν.* Frösche 145: *εἶτα βόρβορον πολὺν καὶ σκῶρ ἀείνων.* 273: *τί ἐστι κἀνταυθοῖ; — σκότος καὶ βόρβορος.* Plat. Phaed. 69, C: *ὃς ἂν ἀμύητος καὶ ἀτέλεστος εἰς Ἅιδου ἀφίκηται, ἐν βορβόρῳ κείσεται.* 110, A: *οὔτε φύεται οὐδὲν ἄξιον λόγου ἐν τῇ θαλάττῃ, οὔτε τέλειον, ὡς ἔπος εἰπεῖν, οὐδέν ἐστι, σήραγγες δὲ καὶ ἄμμος καὶ πηλὸς ἀμήχανος καὶ βόρβοροί εἰσιν.*

Durch Reduplication gebildet, nach Art von *βάρβαρο-ς* ‚unverständlich, ausländisch' (Seite 112), *γοργύρη* ‚unterirdische Wasserleitung' (Seite 45) und vielen andern Wörtern. Das zu Grunde liegende *βορ-* ist an und für sich nicht deutlich. Ob etwa nhd. *Quark* ‚Dreck, Koth' hieher gehört, das auch insbesondere ‚Käsequark' bezeichnet und so für entlehnt aus dem Slavischen (russ. *tvorog*) gilt?

βορβορυγμό-ς ‚das Kullern im Leibe'.

Hipp. 1, 100: *τοὺς δὲ ἐκ τῶν ὑποχονδρίων πόνους τε καὶ κυρτώματα, ἢν ᾖ νεαρὰ καὶ μὴ ξὺν φλεγμονῇ, λύει βορβορυγμὸς ἐγγενόμενος ἐν τῷ ὑποχονδρίῳ, καὶ μάλιστα μὲν διεξιὼν ξὺν κόπρῳ τε καὶ οὔρῳ καὶ φύσῃ, ἢν δὲ μὴ, καὶ αὐτὸς δὴ περαιωθεὶς ὠφελέει.* Luk. Lexiph. 20: *φεῦ, τί τοῦτο; πολὺς ὁ βορβορυγμός. ἐγγαστρίμυθόν τίνα ἔοικα πεπωκέναι.*

Wurde dem Vorausgehenden gleich durch Reduplication gebildet, wie zum Beispiel auch *κορκορυγή* ‚Getöse' (2, Seite 374), dem das noch hieher gehörige von Hesych (*βορβορυγή· ποιός τις ἦχος, ὃν καὶ κορκορυγὴν καλοῦσιν*) angeführte *βορβορυγή* ‚Geräusch' ganz entsprechend gebildet wurde. Naher Zusammenhang besteht vielleicht mit *βάρβαρο-ς* ‚unverständlich' (Seite 112).

βήρυλλο-ς ‚ein meergrüner Edelstein'.

Luk. verae hist. 2, 11: *ναοὶ δὲ πάντων θεῶν βηρύλλου λίθου ᾠκοδομημένοι.* Addäos (in Anth. 9, 544, 1): *Ἰνδὴν βήρυλλόν με Τρύφων ἀνέπεισε*

Γαλήνην εἶναι. Dion. Perieg. 1012 (ed. GBernhardy): *καὶ μὴν καὶ χρυσοῖο φέρει χαριέστερον ἄλλο, ὑγρῆς βηρύλλου γλαυκὴν λίθον, ἣ περὶ χῶρον φύεται ἐν προβολῇς, ὀφιήτιδος ἔνδοθι πέτρης.*

Ungriechischen Ursprungs.

βωρεύ-ς, eine Fischart.

Xenokr. (bei Ideler: phys. et med. 1, Seite 133): *οἱ δὲ ἐν κεράμοις ταριχευόμενοι βωρεῖς, οἳ καὶ ὠμοὶ ἐσθίονται, ἀποδαρέντος τοῦ δέρματος καὶ ἀποτιλθέντος.*

Ungewisser Herkunft.

βύριο-ν ‚Wohnung'. Hesych erklärt *βύριον· οἴκημα.*

Dazu: *εὐ-βύριο-ς* ‚gute Wohnungen enthaltend'; Euphorion (in Etym. M. 389, 24): *ἄστυ κατ᾽ εὐβύριον.*

Als letztes Suffix löst sich *ιο* ab; suffixal wird aber auch das *ρ* sein. Was aber ist zu Grunde liegende Verbalform?

βύρσα (Ar. Ritter 369; Arist. Thierk. 4, 64; *βύρσαν* Theokr. 25, 238; Theophr. Pflanz. 9, 5, 3) ‚Haut', besonders ‚abgezogene Haut'.

Hdt. 3, 110: *ἐπεὰν καταδήσωνται βύρσῃσι καὶ δέρμασι ἄλλοισι πᾶν τὸ σῶμα.* Ar. Ritter 104: *ὁ βάσκανος ῥέγκει μεθύων ἐν ταῖσι βύρσαις ὕπτιος.* 369: *ἡ βύρσα σου θρανεύσεται* ‚deine Haut wird auf die Gerberbank kommen'. 892: *οὐκ ἐς κόρακας ἀποφθερεῖ, βύρσης κάκιστον ὄζων;* Theokr. 25, 238: *οὐδ᾽ ὡς ὑπὸ βύρσαν ἔδυ πολυώδυνος ἰός.* 272: *ὅπως λασιαύχενα βύρσαν θηρὸς τεθνειῶτος ἀπὸ μελέων ἐρυσαίμην.* Luk. Lexiph. 6: *οἶνος δὲ ἦν οὐ γέρων, ἀλλὰ τῶν ἀπὸ βύρσης* (‚Schlauch'), *ἤδη μὲν ἀγλευκής, ἄπεπτος δὲ ἔτι.*

Fick 1[4], 411 vergleicht ahd. *chursinna*, mhd. *kürsen* ‚Pelzrock' und nhd. *Kürschner*, wohl etwas zu kühn. Es mag hier auszusprechen genügen, dass *βύρσα* zunächst aus **βύρσια* entstanden sein wird, wie zum Beispiel *πτέρνα* ‚Ferse' (2, Seite 511) aus **πτέρνια* oder *πότνα* ‚Herrinn' (2, Seite 505) aus **πότνια*, und dass der Ursprung des Wortes dunkel ist.

Die anlautende Consonantenverbindung *βρ.*

βράκανο-ν, ein wild wachsendes Gemüse.

Pherekr. (bei Athen. 7, 316, E): *ἐνθρύσκοισι καὶ βρακάνοις καὶ στραβήλοις ζῆν.* Luk. Lexiph. 2: *τῶν σκανδίκων καὶ βρακάνων λαχανευσάμενος.*

Die Suffixform ist eine sehr gewöhnliche, begegnete zum Beispiel in *τρύπανο-ν* ‚Bohrer' (2, Seite 834), die Herkunf des Wortes aber ist dunkel.

βράκο-ς ‚Frauengewand'.

Sappho Bruchst. 70, 2: *ἀγροιῶτις . . . οὐκ ἐπισταμένα τὰ βράκε᾽ ἕλκην ἐπὶ τῶν σφύρων.* Theokr. 28, 11: *ἀλακάτα . . . . ἐκτελέσεις . . . πόλλα δ᾽ οἶα γύναικες φορέοισ᾽ ὐδάτινα βράκη.*

Aeolische Nebenform zu *ῥάκος-* ‚Stück Zeug' (siehe später), alt *ϝράκος-* (Od. 6, 178; 14, 349; 512; 19, 507).

βράκη ‚Beinkleid'.

Diod. Sic. 5, 30: *ἐσθῆσι δὲ χρῶνται καταπληκτικαῖς . . . καὶ ἀναξυρίσιν, ἃς ἐκεῖνοι βράκας προσαγορεύουσιν.*

Ein gallisches Wort.

βρατ-: *βράσσειν* (Hdt. 7, 188; 190; Nik. al. 359; aus **βράτjειν*) ‚sieden, aufbrausen, auswerfen‘; attisch *βράττειν* (Ar. Ach. 1005; Frösche 510; Plat. Soph. 226, B).

Hdt. 7, 188: *αἱ δὲ* (nämlich *νέες*) *ἐς Κασθαναίην ἐξ-εβράσσοντο* (nahe vorher heisst es: *τῆς θαλάσσης ζεσάσης*). 190: *ὃς πολλὰ μὲν χρύσεα ποτήρια ὑστέρῳ χρόνῳ ἐκ-βρασσόμενα ἀνείλετο πολλὰ δὲ ἀργύρεα.* Ar Ach. 1005: *ἀνα-βράττετ᾿, ἐξοπτᾶτε.* Frösche 510: *ἐπεί τοι καὶ κρέα ἀν-εβραττεν ὀρνίθεια.* Frösche 553: *κρέα . . . ἀνάβραστ᾿ εἴκοσιν.* Friede 1197: *ἀνα-βράττω κίχλας.* Bruchst. 271: *πτίσσω, βράττω, μάττω.* Hipp. 2, 427: *ἡ φάρυγξ . . . θρόμβους αἵματος ἐκ-βράσσεται* (Ermerins schreibt *ἐκβράσσει*) *κατ᾿ ὀλίγον θαμινά.* Ap. Rh. 2, 323: *ὕπερθε δὲ πολλὸν ἁλὸς κορθύνεται ὕδωρ βρασσόμενον.* 2, 568: *ὦρτο δὲ πολλὴ ἅλμη ἀνά-βρασθεῖσα.* Nik. al. 25: *ἡ δὲ ταρασσομένη τὰ μὲν ἔβρασεν ἤλιθα νηδὺς πνεύματα.* Antipatr. (in Anth. 7, 288, 4): *ὀστέα δ᾿ αὖτε βέβρασται ψυχρῇ τῇδε παρ᾿ ἠιόνι.* — Dazu: *βρασμό-ς* ‚Erschütterung‘; Orph. hymn. 47, 3: *κικλήσκω Βάκχον . . . ὃς . . . ἔστησεν κρατεροὺς βρασμοὺς γαίης ἀποπέμψας.* Stob. (ecl. 1, 628): *Ἀριστοτέλης φησὶ σεισμοὺς γίνεσθαι . . . . καὶ τῆς γῆς ῥυείσης . . . . τρόμους καὶ βρασμούς.*

Weiterer etymologischer Zusammenhang ist noch nicht aufgefunden. Es könnte nach den aufgeführten Formen möglicher Weise auch ein **βραθ-* zu Grunde liegen. — Ein präsentisches ***βράζειν* ist mit Unrecht angenommen. Heliodor Aethiop. 5, 16 heisst es *τοῦ πότου δὲ λαβρῶς ἤδη βρυάζοντος* (nicht *βράζοντος*). — Mit *βρασμό-ς* vergleicht sich seiner Bildung nach *πλάσματ-* ‚Geformtes, Bildwerk‘ (Ar. Vögel 686; Plat. Theaet. 197, D; Soph. 239, E), das von *πλαθ-* : *πλάσσειν* ‚bilden‘ (2, Seite 696) ausging.

βράβιλο-ν (daneben begegnet *βράβυλο-ν* Klearch. bei Athen. 2, 49, F und sonst), eine wilde Steinfrucht, eine Art Pflaume.

Theokr. 7, 146: *τοὶ δ᾿ ἐκέχυντο ὄρπακες βραβίλοισι καταβρίθοντες ἔραζε.* 12, 3: *ὅσον μῆλον βραβίλοιο ἥδιον.* Athenäos 2, 49, F führt aus Klearch an: *Ῥοδίους καὶ Σικελιώτας βράβυλα καλεῖν τὸ κοκκύμηλα,* citirt die beiden Theokritstellen und fügt dann noch zu: *ἐστὶ δὲ τοῦτο τὸ ἀκρόδρυον μικρότερον μὲν τῇ περιφορᾷ τῶν κοκκυμήλων, τῇ δ᾿ ἐδωδῇ τὸ αὐτό, πλὴν ὀλίγον δριμύτερον.*

Die Suffixform ist ungewöhnlich, sie begegnet bei männlichem Geschlecht in *τροχίλο-ς* (auch *τρόχιλο-ς* betont) ‚Strandläufer, Krokodilwächter‘ (2, Seite 817), während mit der Form *βράβυλο-ν στέμφυλο-ν* ‚ausgepresste Oliven oder auch Weintrauben‘ (Ar. Ritter 806; Wolke 45) im Suffix übereinstimmt. Die Herkunft des Wortes ist dunkel. Sollte möglicher Weise Zusammenhang bestehen mit unserm *Krieche* (auch die

Form *Kriechel* begegnet), nnd. *Kreke* oder auch *Kreike* ‚Schlehe, Pflaumenschlehe'?

βραβεύ-ς ‚Anführer', ‚Kampfspielanordner, Kampfrichter'; dann überhaupt ‚Richter'.

Aesch. Pers. 302: *Ἀρτεμβάρης δὲ μυρίας ἵππου βραβεύς.* Ag. 230: *παρ' οὐδὲν αἰῶνα παρθένειόν τ' ἔθεντο φιλόμαχοι βραβῆς.* — Soph. El. 690: *ὅσων γὰρ εἰσεκήρυξαν βραβῆς δρόμων.* 709: *στάντες δ' ἵν' αὐτοὺς οἱ τεταγμένοι βραβῆς κλήρους ἔπηλαν καὶ κατέστησαν δίφρους.* Plat. Ges. 12, 949, A: *ἱππικῶν ἄθλων ἐπιστάτας καὶ βραβέας.* — Eur. Or. 1650: *θεοὶ δέ σοι δίκης βραβῆς . . . εὐσεβεστάτην ψῆφον διοίσουσι.* Med. 274: *ὡς ἐγὼ βραβεὺς λόγου τοῦδ' εἰμί.* Hel. 703: *οὐχ ἥδε μόχθων τῶν ἐν Ἰλίῳ βραβεύς* (‚Urheber')?

Dunklen Ursprungs. Das Ableitungssuffix *ευ* weist auf ein zunächst zu Grunde liegendes Nomen, wie etwa **βραβή* ‚das Anordnen(?)'.

βράδινο-ς ‚schlank, beweglich'.

Sappho Bruchst. 90, 2: *πόθῳ δάμεισα παῖδος βραδίναν δι' Ἀφρόδιταν.* Bruchst. 104, 2: *ὄρπακι βραδίνῳ σε κάλιστ' εἰκάσδω.*

Lesbische Nebenform zu *ῥαδινό-ς* (siehe später), alt *Ϝραδινό-ς*. Bei Homer (Il. 23, 583) ist das alte anlautende *Ϝ* nicht zu erkennen, auch nicht im Hymnus an Demeter (Vers 183), wohl aber bei Hesiod (theog. 195: *ἀμφὶ δὲ ποίη ποσσὶν ὕπο Ϝραδινοῖσιν ἀϜέξετο*).

βραδύ-ς ‚langsam', ‚spät'; dann auch ‚geistig langsam, schwachsinnig'.

Il. 8, 104: *βραδέϜες δέ τοι ἵπποι.* Od. 329 und 330: *κιχάνει τοι βραδὺς ὠκύν, ὡς καὶ νῦν Ἥφαιστος ἐὼν βραδὺς εἷλεν ἌρηϜα, ὠκύτατόν περ ἐόντα θεῶν . . . χωλὸς ἐών.* Eur. Bruchst. 886, 2: *μισῶ πολίτην ὅστις ὠφελεῖν πάτραν βραδὺς φανεῖται, μεγάλα δὲ βλάπτειν ταχύς.* 979, 3: *ἡ Δίκη . . . βραδεῖ ποδὶ στείχουσα μάρψει τοὺς κακούς.* — Soph. Aias 738 und 739: *βραδεῖαν ἡμᾶς ἆρ' ὁ τήνδε τὴν ὁδὸν πέμπων ἔπεμψεν, ἢ 'φάνην ἐγὼ βραδύς.* — Ar. Wolk. 129: *πῶς οὖν γέρων ὢν κἀπιλήσμων καὶ βραδὺς λόγων ἀκριβῶν σκινδαλάμους μαθήσομαι;* Pind. Phaedr. 239, A: *ἥττων δὲ ἀμαθὴς σοφοῦ . . . βραδὺς ἀγχίνου.* — Dazu: das superlativische *βάρδιστο-ς* (siehe besonders, Seite 113).

Lat. *bardo-s* ‚langsam von Begriffen, stumpfsinnig'; Plaut. Bacch. 1088: *qvîcomqve ubi ubi sunt qvî fuêrunt qvîqve futûrî sunt posthâc stultî, stolidî, fatuî, fungî, bardî, blennî, buccônês*; Persa 169: *nimis tandem mê qvidem prô bardâ et rullâ reor habitam esse aps tê.*

Oder sollte lat. *bardo-s* nur dem Griechischen entlehnt sein? — Weiterer etymologischer Zusammenhang ist nicht deutlich.

βραχ- ‚lautes Getöse machen, krachen', begegnet nur in der aoristischen Form *ἔβραχε* ‚es krachte' (ohne Augment *βράχε* Il. 12, 396; 13, 181; 14, 420 und sonst).

Bei Homer 13 mal. Il. 4, 420: *δϜεινὸν δ' ἔβραχε χαλκὸς ἐπὶ στήθεσσι Ϝάνακτος ὀρνυμένου.* Il. 12, 396: *ἀμφὶ δέ Ϝοι βράχε τεύχεα ποικίλα χαλκῷ.* Il. 5, 838: *μέγα δ' ἔβραχε φήγινος ἄξων βριθοσύνῃ.* Il. 21, 387: *ξὺν δ'*

ἔπεσον μεγάλῳ πατάγῳ, βράχε δ᾽ εὐρεῖα χθών. Od. 21, 48 und 49: *θυρέων δ᾽ ἀνέκοπτεν ὀχῆϝας ἄντα τιτυσκομένη· τὰ δ᾽ ἀν-έβραχεν ἠύτε ταῦρος βοσκόμενος λειμῶνι· τόσ᾽ ἔβραχε καλὰ θύρετρα πληγέντα κληϝῖδι.* Il. 5, 859: *ὁ δ᾽ ἔβραχε χάλκεος Ἄρης ὅσσον τ᾽ ἐννεάχιλοι ἐϝίαχον ἢ δεκάχιλοι ἀνέρες ἐν πτολέμῳ.* Qu. Sm. 6, 325 = 10, 72: *ὡς τῶν ἐσσυμένων μέγ᾽ ὑπ-έβραχε γαῖα πελώρη.*

Lat. *fragôr-* ‚das Krachen, Getöse'; Lucr. 5, 109: *succidere horrisonô posse omnia victa fragôre*; Liv. 1, 29: *fragor tectôrum qvae dîruêbantur ultimîs urbis partibus audiêbâtur*; Verg. Aen. 1, 154: *cunctus pelagî cecidit fragor.*

Mhd. *braht* ‚Lärm, Geschrei'; ahd. *braht* oder *praht* ‚Getöse, Geräusch'.

Die Entwicklung des anlautenden *β* wie wohl auch in *βυθό-ς* ‚Tiefe, Meerestiefe' (Seite 97) und *βόθρο-ς* ‚Grube, Vertiefung' (Seite 96), so dass also ein altes **bhragh-* wird anzunehmen sein.

βράχος- ‚seichte Stelle im Wasser', in älterer Zeit nur in der Mehrzahl gebraucht.

Hdt. 2, 102: *ἔλεγον .... μιν πρόσω ἀπικέσθαι ἐς θάλασσαν οὐκέτι πλωτὴν ὑπὸ βραχέων.* 4, 179: *πρὶν δὲ κατιδέσθαι γῆν, ἐν τοῖσι βράχεσι γενέσθαι λίμνης τῆς Τριτωνίδος ..... οὕτω δὴ τόν τε διέκπλοον τῶν βράχεων δεικνύναι τὸν Τρίτωνά σφι.* Thuk. 2, 91: *αἱ δὲ* (nämlich *νῆες*) *καὶ ἐς βράχεα ἀπειρίᾳ χωρίων ὤκειλαν.* Polyb. 1, 39: *προσπεσόντες εἴς τινα βράχεα διὰ τὴν ἀπειρίαν.*

Gehört zu *βραχύ-ς* ‚kurz' (siehe Seite 120), das auch in der Bedeutung ‚seicht' gebraucht wird, wie Hdt. 2, 19: *ὁ Νεῖλος .... ὀπίσω ἀπέρχεται ἀπολείπων τὸ ῥέεθρον, ὥστε βραχὺς τὸν χειμῶνα ἅπαντα διατελέει ἐὼν μέχρι οὗ αὖτις τροπέων τῶν θερινέων.* Das entsprechende lat. *brevi-s* kommt auch einige Male so vor, wie Verg. Aen. 1, 111: *trîs* (Schiffe) *Eurus ab altô in brevia et syrtîs* (‚Sandbänke') *urgvet*; Tac. ann. 1, 70: *neqve discernî poterant ... brevia â profundîs*; 6, 33: *pulsô .. intrôrsus fretô brevia lîtorum nûdantur*; 14, 29: *nâvêsqve fabricâtur plânô alveô adversus breve et incertum.*

βράχῑον- (*βραχί̄ων*) ‚Arm'.

Il. 12, 389: *Γλαῦκον ... βάλε ... ᾗ ϝίδε γυμνωθέντα βραχίονα.* Il. 13, 529 und 532: *δόρϝι βραχίονα τύψεν .... ἐκϝέρυσεν πρυμνοῖο βραχίονος ὄβριμον ἔγχος.* Il. 16, 510: *χειρὶ δ᾽ ἑλὼν ἐπίεζε βραχίονα.* Od. 18, 96: *φάνεν δέ ϝοι εὐρέϝες ὦμοι στήθεά τε στιβαροί τε βραχίονες.* Aesch. Schutzfl. 747: *πολλοὺς δέ γ᾽ εὑρήσουσιν ἐν μεσημβρίας θάλπει βραχίον᾽ εὖ κατερρινημένους.* Arist. Thierk. 1, 58: *βραχίονος δὲ ὦμος, ἀγκών, ὠλέκρανον, πῆχυς, χείρ.*

Dunkler Herkunft. Die Suffixform ist ungewöhnlich, vergleicht sich in der homerischen Sprache nur mit der der patronymischen Bildungen, wie *Κρονί̄ων* ‚Kronos' Sohn' (Il. 1, 528; 2, 419; 670; Genetiv *Κρονί̄ονος* Il. 14, 247; Od. 11, 620), die aber doch hier nicht wohl unmittelbar verglichen werden können. Das comparativische Suffix *ιον* hat bei Homer stets kurzes *ι*,

wie zum Beispiel in *φίλιον-* ‚lieber' (Od. 19, 351 = 24, 268: *φιλίων*), liegt also hier abseits.

βραχύ-ς ‚kurz'; dann auch ‚schwach', ‚gering'.

Pind. Isthm. 3, 71: *μορφὰν βραχύς, ψυχὰν δ᾽ ἄκαμπτος προσπαλαίσων ἦλθ᾽ ἀνήρ* (Herakles). Pyth. 9, 68: *θεῶν . . ὁδοὶ τε βραχεῖαι.* 4, 286: *ὁ γὰρ καιρὸς πρὸς ἀνθρώπων βραχὺ μέτρον ἔχει.* Aesch. Prom. 505: *βραχεῖ δὲ μύθῳ πάντα συλλήβδην μάθε.* 930: *κρατείτω τόνδε τὸν βραχὺν χρόνον.* Pers. 713: *πάντα γάρ . . ἀκούσει μῦθον ἐν βραχεῖ χρόνῳ.* — Pind. Nem. 10, 19: *βραχύ μοι στόμα πάντ᾽ ἀναγήσασθαι.* Isthm. 6, 44: *βραχὺς ἐξικέσθαι χαλκόπεδον θεῶν ἕδραν.* — Soph. Oed. Kol. 294: *λόγοισι γὰρ οὐκ ὠνόμασται βραχέσι.* Thuk. 8, 76, 6: *βραχύ τέ τι εἶναι καὶ οὐδενὸς ἄξιον.* Xen. Kyr. 8, 2, 5: *ἀνάγκη οὖν τὸν ἐν βραχυτάτῳ διατρίβοντα ἔργῳ τοῦτον καὶ ἄριστα διηναγκάσθαι τοῦτο ποιεῖν.* Plat. Ges. 11, 921, C: *βραχὺ κέρδος ἀγαπῶν.* — Dazu: das comparativische *βρᾶσσον-* (*βράσσων*) ‚kürzer'; nur Il. 10, 226: *μοῦνος δ᾽ εἴ πέρ τε νοϝήσῃ, ἀλλά δέ ϝοι βράσσων* (‚schwächer, weniger leistend') *τε νόϝος.* — *βράχος-* ‚seichte Stelle im Wasser' (siehe besonders 1, Seite 119).

= Lat. *brevi-s* ‚kurz'; Verg. ecl. 9, 23: *brevis est via*; Cic. Arch. 11 (28): *qvid est qvod in hôc tam exiguô vîtae curriculô et tam brevî tantis nôs in labôribus exerceâmus?*

Gothisches *ga-maurgjan* ‚abkürzen' (Mk. 13, 20 zweimal für *κολοβοῦν* und Röm. 9, 28 zweimal für *συντέμνειν*) drängt zu der Vermuthung, dass *βραχύ-ς* damit in Zusammenhang steht und etwa aus **μραχύ-* (wie zum Beispiel *βροτό-ς* ‚sterblich' aus **μροτό-ς*, siehe Seite 124) entstanden sei: das lateinische *brevi-s* aber, für das der entsprechende Ursprung nicht wohl angenommen werden kann, macht jene Vermuthung ganz hinfällig. — Mit der Entstehung von *βρᾶσσον-* (aus **βράχjον*) vergleicht sich die von *θᾶσσον-* ‚schneller' (Il. 13, 819; 15, 570) aus **θάχjον-* (*ταχύ-ς* ‚schnell' Il. 2, 527; 13, 66; 701, entstand aus **θαχύ-ς*, siehe 2, Seite 752). — Lat. *brevi-s* (aus **bregví-s*) steht griechischem *βραχύ-ς* gegenüber, wie *levi-s* ‚leicht, behende, leichtsinnig' dem griechischen *ἐλαχύ-ς* ‚klein, gering' (1, Seite 468).

βράθυ- ‚Sadebaum', eine Wachholdergattung.

Diosk. 1, 104: *βράθυ, ἔνιοι βάραθρον καλοῦσι. ἔστι δὲ τούτου εἴδη δύο· τὸ μὲν γὰρ αὐτοῦ ἐστὶ τοῖς φύλλοις ὅμοιον κυπαρίσσῳ, ἀκανθοδέστερον δὲ καὶ βαρύοδμον, δριμύ, πυρωτικόν· κολοβὸν δὲ τὸ δένδρον καὶ εἰς πλάτος μᾶλλον χεόμενον . . . τὸ δὲ ἕτερον μυρίκῃ τοῖς φύλλοις ὅμοιον.*

Dunklen Ursprungs.

βράσσ-ειν ‚sieden, aufbrausen, auswerfen', siehe unter *βρατ-* (Seite 117).

βρᾶσσον- (*βράσσων*) ‚kürzer', comparativische Form zu *βραχύ-ς* (siehe oben).

βρασμό-ς ‚Erschütterung', gehört zu *βρατ-* ‚sieden, aufbrausen' (siehe S. 117).

βράγχο-ς ‚Heiserkeit'; daneben auch *βάραγχο-ς* (siehe besonders, Seite 111).

Thuk. 2, 49: *ἔπειτα ἐξ αὐτῶν πταρμὸς καὶ βράγχος ἐπεγίγνετο, καὶ ἐν*

οὐ πολλῷ χρόνῳ κατέβαινεν ἐς τὰ στήθη ὁ πόνος μετὰ βηχὸς ἰσχυροῦ. Arist. Thierk. 8, 137: *τῶν δὲ τετραπόδων αἱ μὲν ὕες νοσήμασι μὲν κάμνουσι τρισίν, ὧν ἓν μὲν καλεῖται βράγχος* (nach Aubert und Wimmer scheinen hiemit verschiedene Krankheiten bezeichnet zu sein, insbesondere die ‚Bräune', eine Anthraxgeschwulst des Rachens und des Kehlkopfes, die ‚weisse Kopfbrandbeule', und ‚Beulen und harte Geschwülste, die an verschiedenen Gliedern auftreten'), *ἐν ᾧ μάλιστα τὰ περὶ τὰ βράγχια καὶ τὰς σιαγόνας φλεγμαίνει. γίνεται δὲ καὶ ὅπου ἂν τύχῃ τοῦ σώματος· πολλάκις γὰρ τοῦ ποδὸς λαμβάνεται, ὁτὲ δ' ἐν τῷ ὠτί. γίνεται δὲ σαπρὸν εὐθὺς καὶ τὸ ἐχόμενον, ἕως ἂν ἔλθῃ πρὸς τὸν πνεύμονα· τότε δ' ἀποθνήσκει.*

Eine zu Grunde liegende Verbalgrundform **βραγχ-* mochte etwa bedeutet haben ‚rauh tönen'. Ob möglicher Weise mhd. *krage* ‚Hals', unser *Kragen*, dazu gehört?

βράγχος- ‚Fischkieme, Fischohr'.

Opp. Fischf. 1, 160: *ὅσσοι γε βράγχῃ, στόματος πτύχας, ἀμφὶς ἔχουσιν.* — Dazu: *βράγχιον* ‚Fischkieme'; Theokr. 11, 54: *ὤμοι, ὅτ' οὐκ ἔτεκέν μ' ἁ μάτηρ βράγχι' ἔχοντα.* Arist. Thierk. 2, 54: *ἴδιον δ' ἔχουσι* (nämlich *οἱ ἰχθύες*) *τό τε τῶν βραγχίων, ᾗ τὸ ὕδωρ ἀφιᾶσι δεξάμενοι κατὰ τὸ στόμα.* 8, 16: *τὰ μὲν οὖν ἀνάλογον τῇ ἀναπνοῇ χρώμενα τῷ ὑγρῷ βράγχια ἔχει.*

Gehört vermuthlich zum Vorausgehenden.

βρεκεκεκὲξ κοὰξ κοάξ lässt Aristophanes (Frösche 209 = 210 = 220 = 225 = 235 = 239 = 250 = 256 = 261 = 268) die Frösche rufen.

βρέτας- ‚hölzernes Götterbild'.

Zuerst bei Aeschylos, der es 15 mal hat, während sich's bei Sophokles gar nicht findet. Aesch. Sieben 95 und 97: *πότερα δῆτ' ἐγὼ ποτιπέσω βρέτη δαιμόνων; ἰὼ μάκαρες εὔεδροι, ἀκμάζει βρετέων ἔχεσθαι.* Pers. 809: *οὐ θεῶν βρέτη ᾐδοῦντο συλᾶν.* Eum. 80: *ἵζου παλαιὸν ἄγκαθεν λαβὼν βρέτας.* 242: *πρόσειμι δῶμα καὶ βρέτας τὸ σόν, θεά.* 259: *περὶ βρέτει πλεχθεὶς θεᾶς ἀμβρότου.* Schutzfl. 463: *νέοις πίναξι βρέτεα κοσμῆσαι τάδε.* Eur. Phoen. 1250: *ἐν σοὶ Ζηνὸς ὀρθῶσαι βρέτας τρόπαιον.* Bruchst. 328, 3: *τοῦτον νομίζω κἂν θεῶν συλᾶν βρέτη.* Ar. Ritter 31 und 32: *κράτιστα τοίνυν τῶν παρόντων ἐστὶ νῷν, θοῶν ἰόντε προσπεσεῖν του πρὸς βρέτας. — ποῖον βρέτας;* Lys. 262: *γυναῖκας .... κατὰ μὲν ἅγιον ἔχειν βρέτας.*

Dunkler Herkunft. Stellt sich seinem Suffix nach zu *γέρας-* ‚Auszeichnung, Ehrengeschenk' (Seite 41) und ähnlichen Bildungen. Das innere *τ* aber hat vielleicht auch als suffixal zu gelten.

βρέγματ- (*βρέγμα*) ‚Aufguss'.

Diod. Sic. 3, 32: *ποτῷ δ' οἱ μὲν ἰδιῶται συγχρῶνται παλιούρων βρέγματι.*

Zu *βρέχειν* ‚benetzen' (siehe Seite 122), mit Entwicklung des *γ* aus *χ* vor suffixalem *μ* ganz wie zum Beispiel in *εὖγματ-* ‚Prahlerei', ‚Gebet

Bitte' (Od. 22, 249; — Aesch. Prom. 584; Sieben 267; Ch. 463. Zu *εὔχεσθαι* ,beten, flehen', ,geloben, versprechen' 2, Seite 192), *πτύγματ-* ,Gefaltetes, Faltung' (Il. 5, 315; zu *πτυχ-* ,falten, zusammenlegen' 2, Seite 520), *ἄργματ-* ,Erstlingsspende, Erstlingsopfer' (Od. 14, 446; zu *ἄρχειν* ,beginnen, der Erste sein' 1, Seite 283).

βρέγματ- (*βρέγμα*) ,vorderer Theil des Schädels'.

Strattis (bei Athen. 11, 467, E): *οἶσθ' ᾧ προσέοικεν, ὦ Κρέων, τὸ βρέγμα σου*; Arist. Thierk. 1, 39: *κεφαλῆς μὲν οὖν μέρη τὸ μὲν τριχωτὸν κρανίον καλεῖται. τούτου δὲ μέρη τὸ μὲν πρόσθιον βρέγμα.* 1, 67: *ὑπὲρ δὲ τοῦ ἐγκεφάλου λεπτότατον ὀστοῦν καὶ ἀσθενέστατον τῆς κεφαλῆς ἐστίν, ὃ καλεῖται βρέγμα.*

Liess das innere *γ* in der selben Weise, wie das vorausgehende Wort, vor dem suffixalen *μ* an die Stelle eines älteren *χ* treten und stellt sich unmittelbar zu dem gleichbedeutenden *βρεχμό-ς* (siehe etwas weiterhin).

βρέχ-ειν ,benetzen, übergiessen' (auch in übertragener Bedeutung); ,trinken'.

Hdt. 3, 104: *ὁ ἥλιος .... καίει ... οὕτω ὥστε ἐν ὕδατι λόγος αὐτούς ἐστι βρέχεσθαι τηνικαῦτα.* Pind. Ol. 6, 55; *παμπορφύροις ἀκτῖσι βεβρεγμένος ἁβρὸν σῶμα.* Ol. 11, 51: *βρέχετο* (nämlich *πάγος* ,der Hügel') *πολλᾷ νιφάδι.* 7, 34: *ἔνθα ποτὲ βρέχε θεῶν βασιλεὺς ὁ μέγας χρυσέαις νιφάδεσσι πόλιν.* Bruchst. 240: *μὴ σιγᾷ βρεχέσθω.* Xen. an. 1, 4, 17: *τῶν διαβαινόντων τὸν ποταμὸν οὐδεὶς ἐβρέχθη ἀνωτέρω τῶν μαστῶν.* — Antiph. (bei Athen. 1, 23, A): *δεῖ γὰρ φαγόντας δαψιλῶς βρέχειν.* Eubul. (bei Athen. 1, 23, A): *βεβρεγμένος* (,trunken') *ἥκω καὶ κεκωθωνισμένος,* Eur. El. 326: *μέθῃ δὲ βρεχθείς.* — Dazu: *βροχετό-ς* ,Benetzung, Regen'; Anth. 6, 21, 3: *τήν τ' ἐπινωτίδιον βροχετῶν ῥακόεσσαν ἀρωγόν ... ἀνέθηκε.*

Sicher Zugehöriges in den verwandten Sprachen scheint sich nicht zu finden. — Mit *βροχετό-ς* vergleicht sich in seiner Bildung *ὀχετό-ς* ,Graben, Wasserleitung' (1, Seite 526).

βρεχμό-ς ,der vordere Theil des Schädels'.

Il. 5, 586: *ἔκπεσε δίφρου κύμβαχος ἐν κονίῃσιν ἐπὶ βρεχμόν* (daneben ist auch *βρεγμόν* und *βρεγχμόν* überliefert) *τε καὶ ὤμους.* Nik. th. 219: *τῶν ἤτοι βρεχμοὶ μὲν ἐπὶ πλάτος.*

Nach Fick 1[4], 496 würde ags. *brägen*, engl. *brain*, mnd. *bregen* ,Gehirn' dazu gehören, also ein altes **bhregh-* zu Grunde liegen.

βρέφος- ,ungeborenes Junges' (im Mutterleibe); ,Kind', auch ,Thierjunges'.

Il. 23, 266: *ἵππον ἔθηκεν ϝεκϝετέ' ἀδμήτην, βρέφος ἡμίονον κυέουσαν.* Luk. 1, 44: *ἐσκίρτησεν ἐν ἀγαλλιάσει τὸ βρέφος ἐν τῇ κοιλίᾳ μου.* — Pind. Ol. 6, 33: *ἐκέλευσεν ἥρωϊ πορσαίνειν δόμεν Εἰλατίδᾳ βρέφος.* Pyth. 9, 62: *ταὶ δ' ἐπιγουνίδιον κατθηκάμενοι βρέφος αὐταῖς.* Aesch. Ag. 1096: *κλαόμενα τάδε βρέφη.* Eur. Bakch. 289: *εἰς δ' Ὄλυμπον βρέφος ἀνήγαγεν.* Hdt. 3, 153: *τῶν οἱ σιτοφόρων ἡμιόνων μία ἔτεκε· ὡς δὲ .... εἶδε τὸ βρέφος.* Ael. Thierk. 3, 8: *τὰ βρέφη τὰ τῶν ἵππων ὅταν αἱ μητέρες καταλίπωσι.*

Altslav. *zrêbę* ‚Füllen‘.

Armen. *orovain* (aus **gorbh-*) ‚Bauch, Mutterleib‘ (nach Bugge Beiträge Seite 26).

Altind. *gárbha-s* ‚Mutterleib‘, ‚ungeborne Leibesfrucht‘; ‚neugebornes Kind, Thierjunges‘; RV. 1, 148, 5: *ná jám ripávas . . . gárbhai sántam . . raisháj̆anti* ‚den die Feinde, wenn er im Mutterleibe ist, nicht schädigen‘; — RV. 5, 2, 2: *pûrvî́s hí gárbhas çarádas vavárdha* ‚viele Herbste wuchs die Leibesfrucht‘; — RV. 10, 27, 14: *tasthấu mâtấ ví-shitas atti gárbhas* ‚es steht die Mutter, losgebunden frisst das Junge‘.

Altostpers. *garewa-* ‚Mutterleib‘, ‚Frucht im Mutterleibe‘.

Als zu Grunde liegende Verbalform ist ohne Zweifel richtig erkannt altind. *grabh-* (in jüngerer Form *grah-*) ‚ergreifen, erhalten‘ (RV. 10, 85, 36: *gṛbhṇấmi tai . . hástam* ‚ich ergreife deine Hand‘; RV. 8, 6, 10: *ahám íd hí pitúr pári maidhấm ṛtásja ǧagrábha* ‚ich habe vom Vater die Kenntniss der ewigen Wahrheit empfangen‘; aus dem Mahâbh. wird angeführt: *sấ gárbham dhṛtárâshṭrât átha agrahî́t* ‚sie empfing darauf Leibesfrucht von Dhṛtarâshṭras‘) = altostpers. *garew-* ‚ergreifen‘: *gerewnáiti* ‚er ergreift‘. Der ‚Mutterleib‘ ist als ‚der Empfangende‘ bezeichnet, ‚die Leibesfrucht, das Kind‘ als ‚das Empfangene‘. — Auf dem selben Grunde ruht nhd. *Kalb*, goth. *kalbôn-* (Joh.-Erkl. 3, C) und die griechischen *δέλφακ-* ‚Ferkel‘ (Hdt. 2, 70; Epich. bei Athen. 9, 374, E; Arist. Thierk. 6, 129), *δελφύ-ς* ‚Mutterleib‘ (Hippokr. 3, 17; Lykophr. 939) und *δολφό-ς* ‚Gebärmutter‘ (Hesych. *δολφό-ς· ἡ μήτρα*), die aber, wie ihre innereren *l* zeigen, schon früh einen besonderen Weg der Entwicklung einschlugen.

βρένθο-ς, Name eines nicht näher zu bestimmenden Vogels.

Arist. Thierk. 9, 13: *ἔτι οἱ ἀπὸ τῆς θαλάττης ζῶντες ἀλλήλοις* (nämlich *πολέμιοί εἰσιν*), *οἷον βρένθος καὶ λάρος καὶ ἅρπη*. 9, 75: *ἔνιοι δὲ τῶν ὀρνίθων ἐν τοῖς ὄρεσι καὶ τῇ ὕλῃ κατοικοῦσιν, οἷον ἔποψ καὶ βρένθος· οὗτος δ᾽ ὄρνις εὐβίοτος καὶ ᾠδικός*.

Dunkler Herkunft. Es scheint an den beiden angeführten Stellen gar nicht der selbe Vogel gemeint zu sein. An der ersten ist wohl eine Möwenart bezeichnet, für die zweite verdient wohl Hesychs Anführung *βρένθο-ν· . . . . καὶ ὄρνεον βρένθος, ὅπερ ἔνιοι κόσσυφον* (‚Amsel‘) *λέγουσι* Beachtung.

βρένθο-ς ‚das sich Brüsten, Stolz‘.

Athen. 13, 611, E: *ἀπομνημονεύσω δ᾽ ἐγώ, εἰ καὶ πολλά ἐστι τὰ λεχθέντα, διὰ τὸν βρένθον ὑμῶν τὸν πολύν, ὦ φιλόσοφοι*. — Dazu: *βρενθύεσθαι* (siehe Seite 124 besonders).

Ungewisser Herkunft. Etwaiger Zusammenhang mit dem Vorausgehenden ist aus der Bedeutung der Wörter nicht ersichtlich.

βρένθειο-ν, eine wohlriechende Salbe.

Sappho Bruchst. 49: *βρενθείω βασιληΐω*. Pherekr. (bei Athen. 15, 690, D): *ἔστην δὲ κἀκέλευον ἐγχέασθε νῷν βρένθειον, ἵνα τοῖς εἰσιοῦσιν ἐγχέῃ*.

Zu Grunde liegt ein einfacheres *βρένθο-ν* ‚Salbe‘ (Hesych: *βρένθον·*

μύρον τι . . . . ., *ὡς βάκκαρις· οἱ δὲ ἀνθινὸν μύρον*), weiterer Zusammenhang aber ist nicht deutlich.

βρενθύεσθαι ‚sich stolz gebärden, vornehm thun'.

Ar. Wolken 361: *βρενθύει τ' ἐν ταῖσιν ὁδοῖς καὶ τὠφθαλμὼ παραβάλλεις.* Friede 26: *τοῦτο δ' ὑπὸ φρονήματος βρενθύεταί τε καί φαγεῖν οὐκ ἀξιοῖ.* Lys. 887: *χἀ δυσκολαίνει πρὸς ἐμὲ καὶ βρενθύεται, ταῦτ' αὐτὰ δή' σθ' ἃ κἄμ' ἐπιτρίβει τῷ πόθῳ.* Plat. Gastm. 221, B: *βρενθυόμενος καὶ τὠφθαλμὼ παραβάλλων.* Athen. 14, 625, B: *οἱ Ἴωνες, ἐπὶ ταῖς τῶν σωμάτων εὐεξίαις βρενθυόμενοι καὶ θυμοῦ πλήρεις.*

Beruht zunächst auf einer Nominalform **βρενθυ-*, schliesst sich aber weiterhin an *βρένθος* ‚das sich Brüsten, Stolz' (Seite 123). Fick 1[4], 93 vermuthet Zusammenhang mit ags. *brant* ‚hoch', der doch nur als sehr unsicher bezeichnet werden kann.

βρέμ-ειν oder auch *βρέμ-εσθαι* ‚brausen, rauschen, laut tönen'.

Bei Homer 5 mal. Il. 4, 425: *κῦμα θαλάσσης . . . . χέρσῳ Ϝρηγνύμενον μεγάλα βρέμει.* Il. 2, 210: *κῦμα πολυφλοίσβοιο θαλάσσης αἰγιαλῷ μεγάλῳ βρέμεται.* Il. 14, 399: *οὔτ' ἄνεμος τόσσον γε ποτὶ δρυσὶν . . ἠπύει, ὅς τε μάλιστα μέγα βρέμεται.* Il. 15, 627: *ἀνέμοιο δὲ δϜεινὸς ἀϜήτη ἱστίῳ ἐμ-βρέμεται.* Il. 17, 739: *τὸ* (nämlich *πῦρ*) *δ' ἐπι-βρέμει ἲς ἀνέμοιο.* Pind. Nem. 11, 7: *λύρα δέ σφι βρέμεται καὶ ἀοιδά.* Aesch. Prom. 424: *δάϊος στρατός, ὀξυπρῴροισι βρέμων ἐν αἰχμαῖς.* Eum. 978: *τὰν δ' ἄπληστον κακῶν μήποτ' ἐν πόλει στάσιν τᾷδ' ἐπεύχομαι βρέμειν.* Sieben 350: *βλαχαὶ δ' αἱματόεσσαι τᾶν ἐπιμαστιδίων ἄρτι βρεφῶν βρέμονται.* Soph. Ant. 592: *δυσάνεμον στόνῳ βρέμουσιν ἀντιπλῆγες ἀκταί.* Ar. thesm. 998: *μελάμφυλλά τ' ὄρη δάσκια καὶ νάπαι πετρώδεις βρέμονται* — Dazu: *βρόμο-ς* ‚Getöse, Geräusch'; Il. 14, 396: *οὔτε πυρὸς τόσσος γε πέλει βρόμος αἰθομένοιο.* Hom. hymn. Herm. 452: *ἱμερόϜεις βρόμος αὐλῶν.* Pind. Ol. 2, 25: *ἀποθανοῖσα βρόμῳ κεραυνοῦ ταννέθειρα Σεμέλα.* — *βροντή* ‚Donner' (siehe Seite 126); — *βρωμάεσθαι* (siehe Seite 128).

Altslav. *grimati* ‚tönen'; *grŭměti* ‚donnern'; *gromŭ* ‚Donner'.

Die alte Zusammenstellung mit lat. *fremere* ‚dumpf tönen' (Enn. ann. 489; 572) hat keinen Boden, da anlautendes lateinisches *f* keinem griechischen *β* entspricht.

βροτό-ς ‚sterblich'; oft substantivisch selbstständig gebraucht ‚der Sterbliche, Mensch'.

